ἀξιῶν τὴν βασίλισσαν· εἶπεν δὲ ὁ βασιλεύς Ὥστε καὶ τὴν γυναῖκα
βιάζῃ ἐν τῇ οἰκίᾳ μου; Αμαν δὲ ἀκούσας διετράπη τῷ προσώπῳ.
9 [9] εἶπεν δὲ Βουγαθαν εἷς τῶν εὐνούχων πρὸς τὸν βασιλέα Ἰδοὺ καὶ
ξύλον ἡτοίμασεν Αμαν Μαρδοχαίῳ τῷ λαλήσαντι περὶ τοῦ βασι-
λέως, καὶ ὤρθωται ἐν τοῖς Αμαν ξύλον πηχῶν πεντήκοντα. εἶπεν
10 δὲ ὁ βασιλεύς Σταυρωθήτω ἐπ᾿ αὐτοῦ. [10] καὶ ἐκρεμάσθη Αμαν ἐπὶ
τοῦ ξύλου, ὃ ἡτοίμασεν Μαρδοχαίῳ. καὶ τότε ὁ βασιλεὺς ἐκόπασεν
τοῦ θυμοῦ.

8 [1] Καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ βασιλεὺς Ἀρταξέρξης ἐδωρήσατο Εσθηρ
ὅσα ὑπῆρχεν Αμαν τῷ διαβόλῳ, καὶ Μαρδοχαῖος προσεκλήθη ὑπὸ
2 τοῦ βασιλέως, ὑπέδειξεν γὰρ Εσθηρ ὅτι ἐνοικείωται αὐτῇ. [2] ἔλαβεν
δὲ ὁ βασιλεὺς τὸν δακτύλιον, ὃν ἀφείλατο Αμαν, καὶ ἔδωκεν αὐτὸν
Μαρδοχαίῳ, καὶ κατέστησεν Εσθηρ Μαρδοχαῖον ἐπὶ πάντων τῶν
3 Αμαν. [3] καὶ προσθεῖσα ἐλάλησεν πρὸς τὸν βασιλέα καὶ προσέπεσεν
πρὸς τοὺς πόδας αὐτοῦ καὶ ἠξίου ἀφελεῖν τὴν Αμαν κακίαν καὶ
4 ὅσα ἐποίησεν τοῖς Ιουδαίοις. [4] ἐξέτεινεν δὲ ὁ βασιλεὺς Εσθηρ τὴν
ῥάβδον τὴν χρυσῆν, ἐξηγέρθη δὲ Εσθηρ παρεστηκέναι τῷ βασιλεῖ.
5 [5] καὶ εἶπεν Εσθηρ Εἰ δοκεῖ σοι καὶ εὗρον χάριν, πεμφθήτω ἀπο-
στραφῆναι τὰ γράμματα τὰ ἀπεσταλμένα ὑπὸ Αμαν τὰ γραφέντα
6 ἀπολέσθαι τοὺς Ιουδαίους, οἵ εἰσιν ἐν τῇ βασιλείᾳ σου· [6] πῶς γὰρ
δυνήσομαι ἰδεῖν τὴν κάκωσιν τοῦ λαοῦ μου καὶ πῶς δυνήσομαι
7 σωθῆναι ἐν τῇ ἀπωλείᾳ τῆς πατρίδος μου; [7] καὶ εἶπεν ὁ βασιλεὺς
πρὸς Εσθηρ Εἰ πάντα τὰ ὑπάρχοντα Αμαν ἔδωκα καὶ ἐχαρισάμην
σοι καὶ αὐτὸν ἐκρέμασα ἐπὶ ξύλου, ὅτι τὰς χεῖρας ἐπήνεγκε τοῖς
8 Ιουδαίοις, τί ἔτι ἐπιζητεῖς; [8] γράψατε καὶ ὑμεῖς ἐκ τοῦ ὀνόματός μου
ὡς δοκεῖ ὑμῖν καὶ σφραγίσατε τῷ δακτυλίῳ μου· ὅσα γὰρ γράφε-
ται τοῦ βασιλέως ἐπιτάξαντος καὶ σφραγισθῇ τῷ δακτυλίῳ μου, οὐκ

8 την βασιλισσαν] αυτην A† | γυναικα] + μετ εμου $O^{-58}$†, + μου 58 | βιαζη] pr. εκ A† | μου om., sed add. ο λογος εξηλθεν εκ (του) στοματος του βασιλεως O† || 9 βουγαθαν] ν > S†, -γαζαν $S^{c}$†, αρβωνα(ς) 58 93† | εις] + απο $O^{-58}$† | προς τον βασ.] του βασιλεως A 58†, ενωπιον του βασιλεως 93† | ξυλον $1^{0}$] το ξυλον ο AO† | τω λαλησαντι] + αγαθα O 93: idem pr. (sic) 93† | και $2^{0}$ > S† | ξυλον $2^{0}$] > A, υψηλον 58 93†, pr. υψηλον $S^{c}$† || 10 ο$1^{0}$] ου AO† | ητοιμασεν] -σθη BS | ο βασ. / εκοπασεν] tr. A

8 1 ημερα] ωρα S†: cf. 9 2 | τω διαβ.] > S*, + των ιουδαιων O | και μαρδοχ.] + δε A† | ενοικιωτο A† || 2 αμαν $1^{0}$] pr. του AO† | αυτον > A || 3 προσθεισα] + εσθηρ O | ηξιου] + και εδεηθη αυτου O† || 4 εξετ. δε] και εξετ. A† || || 5 χαριν] + ενωπιον σου A, + ενωπιον σου και ευθης ο λογος ενωπιον του βασιλεως και αγαθη ειμι εν οφθαλμοις αυτου $O^{-93}$: sim. 93 | αποστραφηναι] -στρεψαι SA 58 93† | απεσταλμενα] pr. εξ AO† | αμαν] + υιου αμαδαθου βουγαιου $S^{c}$†: sim. 58 93† | απολεσαι A† | οι] οσοι A | σου > A 58 93† || 6 ιδειν] pr. επ A 58† || 7 προς εσθηρ] εσθ. τη βασιλισση uel sim. A 58 93† (+ και μαρδοχαιω τω ιουδαιω 58 93†) | εδωκα και > A 58 93† | ξυλου] pr. του A | ετι > A || 8 γραψατε] γραφετε AO† (58 93 tr. γραφ. post και υμεις)